τοῦ συμφέροντος. καλεῖν δ' εἰώθαμεν, τῶν μὲν μοναρχιῶν τὴν πρὸς τὸ κοινὸν ἀποβλέπουσαν συμφέρον, βασιλείαν· τὴν δὲ τῶν ὀλίγων μὲν, πλειόνων δ' ἑνὸς, ἀριστοκρατίαν, ἢ διὰ τὸ τοὺς ἀρίστους ἄρχειν, ἢ διὰ τὸ πρὸς τὸ ἄριστον τῇ πόλει καὶ τοῖς κοινωνοῦσιν αὐτῆς. ὅταν δὲ τὸ πλῆθος πρὸς τὸ κοινὸν πολιτεύηται συμφέρον, καλεῖται τὸ κοινὸν ὄνομα πασῶν τῶν πολιτειῶν, πολιτεία. συμβαίνει δ' εὐλόγως. ἕνα μὲν γὰρ διαφέρειν κατ' ἀρετὴν, ἢ ὀλίγους, ἐνδέχεται· πλείους δ' ἤδη χαλεπὸν ἠκριβῶσθαι πρὸς πᾶσαν ἀρετὴν· ἀλλὰ μάλιστα τὴν πολεμικήν· αὕτη γὰρ ἐν πλήθει γίγνεται. διόπερ κατὰ ταύτην τὴν πολιτείαν, κυριώτατον τὸ προπολεμοῦν, καὶ μετέχουσιν αὐτῆς οἱ κεκτημένοι τὰ ὅπλα. παρεκβάσεις δὲ τῶν εἰρημένων, τυραννὶς μὲν, βασιλείας· ὀλιγαρχία δὲ, ἀριστοκρατίας· δημοκρατία δὲ, πολιτείας. ἡ μὲν γὰρ τυραννὶς, ἐστι μοναρχία, πρὸς τὸ συμφέρον τὸ τοῦ μοναρχοῦντος· ἡ δ' ὀλιγαρχία, πρὸς τὸ τῶν εὐπόρων· ἡ δὲ δημοκρατία, πρὸς τὸ συμφέρον τὸ τῶν ἀπόρων· πρὸς δὲ τὸ τῷ κοινῷ λυσιτελοῦν, οὐδεμία αὐτῶν.

Κεφάλαιον η.

Δεῖ δὲ μικρῷ διὰ μακροτέρων εἰπεῖν, τίς ἑκάστη τούτων τῶν πολιτειῶν ἐστι. καὶ γὰρ ἔχει τινὰς ἀπορίας. τῷ δὲ περὶ ἑκάστην μέθοδον φιλοσοφοῦντι, μὴ καὶ μόνον ἀποβλέποντι πρὸς τὸ πράττειν, οἰκεῖόν ἐστι τὸ μὴ παρορᾶν, μηδέ τι καταλείπειν, ἀλλὰ δηλοῦν τὴν περὶ ἕκαστον ἀλήθειαν. ἔστι δὲ τυραννὶς μὲν, μοναρχία, καθάπερ εἴρηται, δεσποτικὴ τῆς πολιτικῆς κοινωνίας· ὀλιγαρχία δ', ὅταν ὦσι κύριοι τῆς πολιτείας οἱ τὰς οὐσίας ἔχοντες· δημοκρατία δὲ, τοὐναντίον, ὅταν οἱ μὴ κεκτημένοι πλῆθος οὐσίας, ἀλλ' ἄποροι. πρώτη δ' ἀπορία πρὸς τὸν διορισμόν ἐστιν. εἰ γὰρ εἶεν οἱ πλείους, ὄντες εὔποροι, κύριοι τῆς πόλεως· δημοκρατία δ' ἐστὶν, ὅταν ᾖ κύριον τὸ πλῆθος· ὁμοίως δὲ πάλιν κἂν εἴ που συμβαίνῃ, τοὺς ἀπόρους ἐλάττους μὲν εἶναι τῶν εὐπόρων· κρείττους δ' ὄντας, κυρίους εἶναι τῆς πολιτείας· ὅπου δ' ὀλίγον κύριον πλῆθος, ὀλιγαρχίαν εἶναι φασίν· οὐκ ἂν καλῶς δόξειεν διωρίσθαι περὶ τῶν πολιτειῶν. ἀλλὰ μὴν κἂν τις συνθεὶς τῇ μὲν εὐπορίᾳ τὴν ὀλιγότητα, τῇ δ' ἀπορίᾳ τὸ πλῆθος, οὕτω προσαγορεύῃ τὰς πολιτείας, ὀλιγαρχίαν μὲν,

A litatis ſunt recipiendi. Vocare autem conſueuimus, cùm vnus ad vtilitatem communem reſpiciens gubernat regiam poteſtatem. Cùm verò pauci gubernant, plures tamen vno, optimatium gubernationem: vel ex eo quia optimi præſunt, vel ex eo quia ad optimum publicum adminiſtrãt. Cùm autem multitudo gubernat ad communem vtilitatem, vocatur communi nomine rerumpublicarum omnium, reſ-
B publica. Contingit autem rationabiliter. vnum enim excellere ſecũdum virtutem, aut paucos datur: vt verò multitudo excellat ad omnem virtutem, difficile eſt, ſed maximè ad bellicam: hæc enim in multitudine fit. Quare in hac reipublicæ ſpecie principaliſſimum ac potẽtiſſimum eſt id, in quo robur belli conſiſtet. in his ipſi illi ſunt, qui ſunt in poſſeſſionem armorũ. Prolabuntur verò ac transgrediuntur huiuſmodi ſpecies, ex regia quidem
C gubernatione, in tyrannidem: ex optimatibus verò, in paucorum potentiam: ex republica autem, in popularem ſtatum. Tyrannidem enim eſſe dicimus, dominatum vnius ad proprium commodum intendẽtis. Paucorum autem potentiam, cùm ad opulentorum commodum gubernatur. Popularem autem ſtatum, cùm ad commodum egenorum. harum enim nulla ad
D communem vtilitatem reſpicit.

CAPVT VIII.

Oportet autem paulo vberius explicare quæ ſit vnaquæque iſtarũ. habent enim dubitationes quaſdam. Philoſophantis enim circa ſingulorum diſciplinam, & non ſolum ad agendum reſpicientis, proprium eſt nihil negligere neque prætermittere, ſed demonſtrare in ſingulis veritatẽ. Tyrãnidem enim eſſe diximus vnius dominationem ciuili ſocietati præſidẽtis.
E Paucorum autem potentiam, quãdo rempublicam tenent opulenti & diuites. Popularem verò gubernationem, cum tenues homines & nõ poſſident diuitias gubernant. Prima igitur dubitatio eſt circa definitionem. Nam ſi plures ſint opulenti & diuites, ac rempublicam teneant: popularis autem gubernatio ſit cùm multitudo regit: eodémque modo, ſicubi contingat inopes eſſe pauciores quàm opulenti,
F ſed potentiores, ac rempublicam teneant, & vbi pauci rempublicam obtinent paucorũ potentiã nũcupamus: nõ rectè viderentur iſtæ definitiones eſſe poſitæ. Enimuerò ſiquis adiungens opulentiæ quidem paucitatẽ, inopiæ verò multitudinem, ſic appellet rerumpublicarũ ſpecies, vt dicat